# Descriptio Sanctae Sophiae

## ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ ΕΚΦΡΑΣΙΣ ΤΟΥ ΝΑΟΥ ΤΗΣ ΑΓΙΑΣ ΣΟΦΙΑΣ
## Ἴαμβοι πρὸς τὸν βασιλέα Ἰουστινιανόν

Ἆρ' ἔστιν εὑρεῖν μείζονα τῆς νῦν ἡμέρας, ἐν ἧι θεός τε καὶ βασιλεὺς σεμνύνεται; οὐκ ἔστιν εἰπεῖν. Χριστὸν ἴσμεν δεσπότην, ἴσμεν δὲ πάντως· τοῦτο γὰρ τοῖς σοῖς λόγοις ποιεῖς, κράτιστε, γνώριμον καὶ βαρβάροις· ὅθεν συνεργὸν αὐτὸν ἐν ταῖς πράξεσιν ἔχεις παρόντα, νομοθετῶν, κτίζων πόλεις, νεὼς ἐγείρων, ὅπλα κινῶν εἰ δέοι, σπονδάς τε τάττων καὶ καταστέλλων μάχας, ὅθεν τὸ νικᾶν συμφυὲς τοῖς σοῖς πόνοις ὥσπερ ἐπίσημον· (οὐχὶ πρὸς τὴν ἑσπέραν ὅρος μὲν ἡμῖν ὠκεανὸς τοῦ σοῦ κράτους τὴν γῆν διεκδραμοῦσι; πρὸς δὲ τὴν ἕω οὐ πάντας ἤδη τοὺς μὲν ἐτρέψω μάχαις, τοὺς δὲ πρὶν ἐλθεῖν ἐς τόδε προσλαμβάνεις; Λίβυν δὲ πάντα δοῦλον οὐκ ἔχεις πάλαι;) ὅθεν νόσους μὲν διαδιδράσκεις εὐκόλως, οὐκ ἐλπίσαντος οὐδενός· ὅθεν εἰκότως τοὺς ἐν ἀφανεῖ, κράτιστε, κινδύνους ἀεὶ μαθὼν παρῆλθες, οὐ δόρασιν, οὐκ ἀσπίσιν, αὐτῆι δὲ χειρὶ τοῦ θεοῦ φρουρούμενος. Ἄγαμαί σε, παγκράτιστε, τῆς εὐψυχίας, ἄγαμαί σε τῆς γνώμης τε καὶ τῆς πίστεως. ὁ λόχος συνέστη, καὶ παρεσκευασμένον τὸ ξίφος ὑπῆρχε, καὶ παρῆν ἡ κυρία, καὶ τῶν βασιλείων ἐντὸς οἱ ξυνωμόται ἤδη παρῆλθον, τῆς πύλης τε τῆς ἔσω, μεθ' ἣν ἔμελλον προσβαλεῖν τοῖς σοῖς θρόνοις, ἥπτοντο. ταῦτα γνοὺς δὲ καὶ μαθὼν πάλαι ἐκαρτέρησας καὶ πεπίστευκας μόνωι τῶι σου προασπίζοντι, τὸν θεὸν λέγω, ὧι πάντα νικᾶις· τοῦ σκοποῦ δ' οὐκ ἐσφάλης. τί γὰρ ἐπὶ τούτοις; ἔπεσεν αὐτοχειρίαι ὁ τὸν λόχον ἄγων· οὐ γὰρ ἤθελεν ἡ Δίκη αὐτὸν διασώζειν. ἐμφανῶς δ' ἠπίστατο ἐκ τῶν τυράννων τῶν παθόντων πολλάκις, ὡς, εἴπερ αὐτοῦ ζῶντος ἐγκρατὴς ἔσηι, εἰς οἶκτον εὐθύς, εἰς ἔλεον πάντως τρέπηι κἀνταῦθα νικῶν πᾶσαν ἀνθρώπου φύσιν. ταῖς τοῦ βίου γὰρ συμπαθῶν ἁμαρτάσιν ἐπεστέναξας πολλάκις τοῖς πταίσμασιν ἡμῶν, ἄριστε· πολλάκις δὲ δακρύοις τὸ πρᾶον ὄμμα βασιλικῶς ὑποβρέχεις ἀλγῶν ἐφ' ἡμῖν· πρὸς δὲ τὴν ἀκρασίαν βλέπων μάλιστα, τὴν σύνοικον τῶι βίωι, λύεις ἅπαντας τῶν κακῶν ὀφλημάτων ὥσπερ τὸ θεῖον, πρὸς δὲ συγγνώμην τρέχεις. αἰτεῖς δὲ σαυτόν, ἡνίκα τῶν δεήσεων τὸ μέγεθος οὐ δίδωσι τῶν δεήσεων ἑτέρους κατάρχειν· καὶ γὰρ οὐκ ἐᾶις ποτὲ ἄλλου γενέσθαι τὸν ἔλεόν σου τὸν πάνυ. ἐξ ὧν δὲ δρῶμεν οὐχ ὁσίων τολμημάτων ἔχεις ἀφορμὰς τῆς ἄνω παρρησίας. Οὐχὶ πρὸς αὐτὸν τὸν θεὸν ἐξοπλίζεται ὁ τὸν βασιλέα τοῦτον οὐ θέλων κρατεῖν, τὸν ἥμερον, τὸν ἡδύν, ἐν τῶι μετρίωι εὐεργετοῦντα καὶ φίλους καὶ μὴ φίλους; σώζει σε ταῦτα· ταῦτα τὴν ψυχὴν ποεῖ τῆς βασιλίδος, κράτιστε, τῆς εὐδαίμονος, τῆς πανταρίστης, τῆς καλῆς καὶ πανσόφου, ἔχειν ὑπὲρ σοῦ πρὸς θεὸν παρρησίαν, ἣν ζῶσαν εἶχες εὐσεβῆ συνεργάτιν, ἐπεὶ δὲ μετῆλθε, παρέσχε τοῖς ὑπηκόοις ὅρκον βοηθόν, ὅρκον ἀρραγέστατον, ὃν οὐ παρῆλθες οὐδ' ἑκὼν παραδράμοις. Καὶ ταῦτα μὲν δὴ ταῦτα· πρὸς δὲ τὸν νεὼν ἤδη βαδίζειν βουλομένοις θαρρεῖν δίδου. ἔστω δὲ τῶν σῶν καὶ τὸ δήπου θαυμάτων, λόγους φανῆναι πρᾶγμα τολμῶντας φράσαι τὸ πάντα νικῶν θαυμάτων ὑπερβολῆι. ἔστιν δὲ δεῖγμα τῶν ἄγαν σου θαυμάτων ὁ τοσοῦτος ἔρως, ὃν ἡ πόλις πᾶσα τρέφει ἐπὶ σοί, βασιλεῦ κράτιστε, καὶ τῶι σῶι νεώι. ἐπεὶ γὰρ ἦγες τὴν ἑορτὴν ὡς ἔδει, ἅπας ὁ δῆμος εὐθύς, ἡ γερουσία, οἱ τὸν μέσον ζηλοῦντες ἀσφαλῆ βίον τὰς τῆς ἑορτῆς ἡμέρας ἐπεξάγειν ἤιτουν· παρεῖχες· ἐξέδραμον· ἤιτουν πάλιν· πάλιν παρεῖχες. τοῦτο δὲ δρῶν πολλάκις ἐπεξέτεινας τὴν ἑορτὴν πλουσίως. Τούτων λεχθέντων ἐν τῶι παλατίωι διηρέθη ἡ ἀκρόασις, καὶ ἐλέχθη τὰ λοιπὰ ἐν τῶι ἐπισκοπείωι, ἐπὶ Εὐτυχίου τοῦ ἁγιωτάτου πατριάρχου, προλεχθέντων τῶν ὑποκειμένων ἰάμβων.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Ἥκομεν ἐς ὑμᾶς, ἄνδρες, ἐκ τῆς ἑστίας τῆς τοῦ βασιλέως ἐς βασιλέως ἑστίαν τοῦ παμμεγίστου, τοῦ ποητοῦ τῶν ὅλων, δι' ὃν τὸ νικᾶν συμφυὲς τῶι δεσπότηι. ἐκεῖ μὲν ἡμῖν τῶν γερῶν ὁ προστάτης καθεὶς ἑαυτὸν εἰς θέατρον ἐκ λόγων τὸν νοῦν παρέσχεν εὐμενῶς, ἐνταῦθα δὲ ὁρᾶν πάρεστι τῶν ἱερῶν τὸν προστάτην· ἔστω δὲ καὐτὸς εὐμενής. τούτων γε μὲν μηδεὶς ἀκούσας λοιδορείσθω τοῖς λόγοις· εἴποι γὰρ εἰκὸς ἄν τις "ὦ τάν, ὡς πάνυ ληρεῖς περιττά. τοῦτον αἰτεῖς εὐμενῆ λόγοις γενέσθαι, τῶν ἀγαθῶν τὴν οἰκίαν, τὸν πᾶσαν εὐμένειαν ἠμφιεσμένον; τουτὶ πέπονθας ὅπερ ἂν εἰκότως πάθοι, εἴ τις δέοιτο λιπαρῶς ἐγκείμενος τὸν ἥλιον μὲν ἀνατέλλειν ἐν ἡμέραι, τὸ φῶς δὲ λάμπειν, τοὺς λόγους δ' εἶναι λόγους." ἐγὼ δὲ ταῦτα τοῦτον εἶναι τὸν τρόπον οὐκ ἂν ἀποφαίην· πρὸς δὲ τὸν σκοπὸν βλέπων, ὃς παμμέγιστος οὐκ ἔχων θ' ὑπερβολήν, δέδοικα τὴν ἀγωνίαν. θαρρεῖν δ' ὅμως ἐξ ὧν ἐδεδίειν πρότερον αὖθις ἄρχομαι. εἰ μὲν γὰρ ἐλπὶς ἦν τις εὐσθενεῖ λόγωι συνεξισοῦσθαι τῶι νεὼι τῶι παγκάλωι, σφαλερὸν ὑπῆρχεν ἐπαποδύεσθαι πάλαις, ἐν αἷς τὸ νικᾶν παρακεκινδυνευμένον. ἐπεὶ δὲ πάντες ἴσμεν, ὡς οὐκ ἄν ποτε λόγος φανείη συντρέχων ταῖς πράξεσιν ταῖς τοῦ βασιλέως, ἔστι δ' αὖ τῶν πράξεων τὸ παμμέγιστον ἡ κτίσις τούτου νεώ, οὐ χρὴ δεδοικότας ἐπὶ προδιεγνωσμένοις μένειν ἀτόλμους, ἀλλὰ τὴν προθυμίαν κινεῖν ἅπασαν, ὡς ἔχει τις ἰσχύος. ἔχει τι χρηστὸν ἀνδρὸς ἡ παρρησία. εἰ μὴ γὰρ εὐτόλμως τε καὶ φρονῶν μέγα ἐδημιούργει τὸν νεὼν ὁ δεσπότης πάσης ὑπερβὰς ἐλπίδος θεωρίαν, οὐκ ἂν προῆλθεν εἰς τοσαύτην ἡ πόλις εὐθυμίαν τε καὶ τρυφὴν εὐδαίμονα. τί οὖν ἀπεικὸς πρόσφορον παρρησίαν τὰ νῦν φανῆναι καὶ λόγων ἀζημίαν; ἃ γὰρ ἂν παραδράμωσιν ἠσθενηκότες, ἔξεστι ταῦτα προσλαβεῖν τοῖς ὄμμασιν. κρίνει δὲ τούτους οὐ κυαμοτρὼξ Ἀττικός, ἀλλ' ἄνδρες εὐσεβεῖς τε καὶ συγγνώμονες, οἷς καὶ τὸ θεῖον καὶ βασιλεὺς ἐφήδεται, οἱ τὰς πόλεις τάττοντες, οἱ τὰς ἡνίας ὅλων ἔχοντες καὶ λόγων καὶ πραγμάτων. ἆρ' οὖν ἐπ' αὐτοὺς χρὴ βαδίζειν τοὺς στίχους ἐκδημαγωγηθέντας εἰς παρρησίαν; χρὴ τοῦτο πράττειν, αὐτὸς ἀντιφθέγξομαι ὥσπερ τις ἠχὼ τῶν ἐμῶν φανεὶς λόγων. οὐκοῦν ἐπάνειμι πρὸς βασιλέα τὸν μέγαν. Παύλου Σιλεντιαρίου, υἱοῦ Κύρου, ἔκφρασις τῆς μεγάλης ἐκκλησίας.

Σήμερον οὐ σακέων με φέρει κτύπος, οὐδ' ἐπὶ νίκην ἕσπερον ἠὲ Λίβυσσαν ἐπείγομαι, οὐδὲ τροπαίοις ἀμφὶ τυραννοφόνοις καναχήποδα ῥυθμὸν ἀράσσω· Μηδοφόνων ἀβόητα μένοι κλέα σήμερον ἔργων. Εἰρήνη πολύολβε, τιθηνήτειρα πολήων, ἣν πλέον εὐπήληκος ἄναξ ἠγκάσσατο Νίκης, δεῦρο· πολισσούχοισιν ἐπαυχήσαντες ἀέθλοις παντὸς ὑπερκύδαντος ὑπέρτερον οἶκον ἀγῶνος εὐιέροις ὕμνοισιν ἀείσομεν, ὧι ὑπὸ μούνωι πᾶν κλέος ὑψορόφοιο κατώκλασε θέσκελον ἔργου. Ἀλλὰ σύ μοι βασιλῆα φερέσβιον, ὄμπνια Ῥώμη, στέψον ἀκηρασίοισι χύδην καταειμένον ὕμνοις, οὐχ ὅτι σὸν ζυγόδεσμον ἐφήρμοσεν ἔθνεσι γαίης, οὐχ ὅτι σῶν ἐτάνυσσεν ὑπέρβια μέτρα θοώκων τέλσα παρ' ἐσχατόωντα κατ' ὠκεανιτίδας ἀκτάς, ἀλλ' ὅτι σὸν περὶ πῆχυν ἀπείρονα νηὸν ἐγείρας Θυμβριάδος ποίησε φαεινοτέρην σε τεκούσης. εἴξατέ μοι, Ῥώμης Καπετωλίδες, εἴξατε, φῆμαι· τόσσον ἐμὸς βασιλεὺς ὑπερήλατο θάμβος ἐκεῖνο, ὁππόσον εἰδώλοιο θεὸς μέγας ἐστὶν ἀρείων. ἔνθεν ἐγὼν ἐθέλω σε μελιφθόγγοισι χορείαις, χρυσοχίτων Ἀνθοῦσα, τεὸν σκηπτοῦχον ἀείδειν. καὶ γὰρ ἄναξ οὐ μοῦνον ἐν ἔντεσι χεῖρα κορύσσων ῥινοτόρωι δούλωσεν ἀπείρονα βάρβαρον αἰχμῆι, ὄφρα τεοῖς ἀδμῆτα λόφον κλίνειε λεπάδνοις καὶ θέμιδος πτήξειε τεῆς ζυγόν· ἀλλὰ καὶ αὐτὸς τετριγὼς ὑπέροπλα μέλας Φθόνος ὤκλασε τόξωι ἀστυόχου βασιλῆος, ἐπασσυτέροις δὲ βελέμνοις ῥωγαλέος δούπησε, πεσὼν δ' ἐβάθυνε κονίην. καὶ σὺ δὲ πρεσβυγένεθλε Λατινιὰς ἔρχεο Ῥώμη, σύνθροον ἀείδουσα μέλος νεοθηλέϊ Ῥώμηι· ἔρχεο καγχαλόωσα, τεὴν ὅτι παῖδα δοκεύεις μητρὸς ὑπερτέλλουσαν, ἐπεὶ χάρις ἥδε τοκήων. Ἀνέρες, οἷσι μέμηλε θεουδέα θεσμὰ γεραίρειν, δεῦρό μοι ἀχλυόεσσαν ἀπορρίψαντες ἀνίην χιονέους ἕσσασθε γεγηθότες


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἄψεσι πέπλους. δάκρυ δὲ πενταέτηρον ἀποψήσαντες ὀπωπῆς μέλψομεν εὐφήμοις ὑπὸ χείλεσιν εὔποδας ὕμνους. οὐρανίων ὤϊξεν ἐπὶ χθονὶ κλῇθρα πυλάων Αὐσονίων σκηπτοῦχος, ὅλαις δ' ἐπέτασσεν ἑορταῖς εὐφροσύνην εὐρεῖαν, ὅλας ἤμβλυνε μερίμνας. ἐξότε γὰρ δούπησεν ἐρισθενὲς ἔργον ἀνάκτων, κῆδος ἔην ἀλίαστον ἀνὰ πτόλιν. ἵλαθι μύθωι, ἵλαθι τολμήεντι, μεγασθενὲς ἤρανε γαίης, ἰλήκοις ἐπέεσσι, καὶ εἰ τεὸν οὖας ὀρίνω βαιὸν ὅσον· μεγάλων γὰρ ἐπερχομένη χάρις ἔργων Ληθαίοις ἐκάλυψε κατηφέα κέντρα ῥεέθροις. καὶ φάος ἠελίοιο φαάντερόν ἐστιν ὁδίτηι χειμερίην μετὰ νύκτα, καὶ ἱμερόεσσα γαλήνη ἄνδρας ἁλιπλάγκτους μετὰ κύματα μᾶλλον ἰαίνει. ἵλαθι τολμήεντι, μεγασθενές, ἵλαθι μύθωι. Ἤδη μὲν σθεναροῖσιν ἐπεμβεβαυῖα θεμείλοις σφαίρης ἡμιτόμοιο κατήριπε θέσκελος ἄντυξ· μυστιπόλου δ' ἐτίναξεν ἐδέθλια πάντα μελάθρου, πάντα δ' ὑπεσκίρτησεν ἐν ἄστεϊ βάθρα θεμείλων, γαῖα δ' ὑπεστενάχιζεν ἐπὶ χρόνον, ἠερίαις δὲ μισγομένη νεφέλῃσιν ὁμιχλήεσσα κονίη οὐρανίης ἀμάρυγμα μεσημβρινὸν ἔσκεπεν αἴθρης. Χριστὲ μάκαρ, σὺ δὲ σεῖο κατ' ἔνδια χεῖρα τανύσσας αἵμασιν οὐ μεθέηκας ὑπ' ἀνδροφόνοισι μιῆναι σὴν χθόνα Τελχῖνας κακοεργέας· οὐδὲ γὰρ ἔτλης ὄμματος ἀχράντοιο βολῆι πανδερκέϊ λεύσσειν αἷμα χυθὲν τεμένεσσιν ἀναιμάκτοιο θυηλῆς. οὐδὲ μὲν εὐρύστερνος ὑπώκλασε μέχρι θεμείλων νηός, ἀριστώδινος ἐελμένος ἅμμασι τέχνης· ἀλλὰ μιῆς ἁψῖδος ἀπωλίσθησε κεραίη ἀντολική, σφαίρης τε λάχος κονίῃσιν ἐμίχθη. ἧν δὲ τὸ μὲν δαπέδοισι, τὸ δ' εἰσέτι (θάμβος ἰδέσθαι) οἷάπερ ἀστήρικτον ὁμίλεεν ἐκκρεμὲς αὔραις. πᾶς δὲ κατηφείηι βεβολημένος ἔστενεν ἀνήρ. μή τις ἐμὴν σειρῆνα βάλοι νεμεσήμονι μύθωι ἀτραπὸν ἀμνήστοιο διαστείχουσαν ἀνίης· ἡδύτερος μετὰ δάκρυ γέλως, μετὰ νοῦσον ὑγείη. οὐχ οὕτως ἀκάχησεν ἀπ' αἰθέρος ἐκχυμένη φλὸξ ἀνέρας, ὁππότε νῶτα κατέφλεγεν ἄχλοα γαίης, μυρία καρφομένων ὅτε χεύματα σίζεν ἀναύρων, οὐδ' ὅτε καρποτόκοιο κατὰ χθονὸς οὐρανὸς αἴθων εὐρὺ χανὼν ὤϊξε πύλας δηλήμονος ὄμβρου καὶ τραφερὸν ξύνωσε πέδον ῥοθίοισι θαλάσσης.

Αὐτὰρ ἐμὸς σκηπτοῦχος ἀπότροπον ἄλγος ἀκούσας οὐκ ἐπὶ δὴν ἐκάλυψε νόου σέλας, οὐδὲ κατηφὴς ἠρεμέειν τέτληκεν ἀεργέος ἅμμασιν ὄκνου, ἀλλὰ μινυνθαδίης ἀπεσείσατο κέντρον ἀνίης, πρὸς δὲ πόνους ἤϊξε παλινδωμήτορας οἴκου. τῶι δὲ παρεστηκυῖα σακέσπαλος ἔννεπε Ῥώμη· "παγκρατές, ὀλβιόμοιρε Δίκης ἕδος, ἕρμα πολήων, ἥρπασε βασκανίη με, χάρις δέ τίς ἐστι Μεγαίρης, ὅττι σέθεν ζώοντος ἐπέχραε κάλλεϊ Ῥώμης. στήθεσιν ἡμετέροισι περιρραγὲς ἕλκος ἀνίσχει· ἀλλά, μάκαρ, (δύνασαι γὰρ ἐφ' ἕλκεϊ φάρμακα πάσσειν) χεῖρα τεὴν προτίταινε, ῥυηφενέος τροφὸν ὄλβου. πάντα κυβερνητῆρι τεῶι διέπουσα χαλινῶι ὑμετέροις ὑπέθηκα τροπαιοφόροισι θριάμβοις. ἠρεμέει καὶ Μῆδος ἄναξ καὶ Κελτὶς ὁμοκλή, καὶ ξίφος ὑμετέροις φιλοτήσιον ὤπασε θώκοις Ἰνδὸς ἀνήρ, ἐλέφαντας ἄγων καὶ μάργαρα πόντου· Καρχηδὼν γόνυ δοῦλον ἐμοῖς ἔκλινε τροπαίοις. εἰς ἐμὲ φορτὶς ἅπασα φερέσβιον ἐλπίδα τείνει, κύκλιον εἰσορόωσα δρόμον διδυμάονος ἄρκτου, ὥς κεν ἐμοῖς τεκέεσσιν ἐπίρρυτον ὄλβον ὀρέξω· ἐμπορίην δ' ἀνάγοντες ἐπιπνείουσιν ἀῆται. ταῦτα τεοῖς καμάτοισιν ἐφέσπεται· ἀλλ' ἐπὶ πάσης ἀγλαΐης θημῶνι πεσεῖν ὑπὸ χεύματα Λήθης μήποτέ μοι, σκηπτοῦχε, τὸ θέσκελον ἔργον ἐάσῃς. οὐ γάρ, ἄναξ, εἰ καί σε καταπτήσσουσι κλιθέντα Αὐσονίοις θεσμοῖσιν ἀπείρονος ἔθνεα γαίης, εἰ καὶ πᾶσαν ἔδειμας ἐμοὶ πόλιν, οὔποτε δήεις σύμβολον ὑμετέροιο φαάντερον ἄλλο θοώκου." ὣς φαμένη χαρίεντα λιλαίετο χείλεα πῆξαι ποσσὶν ἀνακτορέοισιν. ὁ δ' ἵλαον ἠθάδι Ῥώμηι δεξιτερὴν ὤρεξεν ὑποκλάζουσαν ἐγείρων. ἦκα δὲ μειδήσας, ἵνα μυρίον ἄλγος ἐλάσσηι, εὐφροσύνης πλήθοντας ἀκηδέος ἔκφατο μύθους· "ῥῖψον ἄχος, βασίλεια πόλις, μὴ θυμὸν ὀρίνῃς· ὡς βέλος οὐ νίκησε τεὸν σάκος οὐδέ τις ἄλλη ἄκλονον ἐστυφέλιξε τεὴν φρένα βάρβαρος αἰχμή, μηδὲ βαρυτλήτοισιν ὑποκλάζοιο μερίμναις. τέτλαθι, παμβασίλεια πόλις, μὴ θυμὸν ἀμύξῃς· καὶ γὰρ ἐμοῖς καμάτοισιν ἀοιδοτέρην σε τελέσσω αὖτις ἀναστήσας κορυφὴν εὐάντυγα νηοῦ." Ὣς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φάμενος τεμένεσσιν ἐπείγετο, καὶ τάχα μύθου γείτονος ἔργον ἔην ταχινώτερον· ὀρνύμενος γὰρ ὡς θέμις οὐκ ἀνέμιμνε συνέμπορον ἀσπιδιώτην χρύσεον ἀγνάμπτοιο κατ' αὐχένος ὅρμον ἑλόντα, οὐ χρυσέην τινὰ ῥάβδον ἀεὶ προκέλευθον ἀνάκτων, οὐ στρατὸν ἠνορέῃσι κεκασμένον εὔποδος ἥβης, σύνδρομον εὐόπλοιο μελαγκρήπιδα κελεύθου. ἐξαπίνης δ' ἑκάτερθε συνέρρεον ἄλλοθεν ἄλλοι προφθαμένου βασιλῆος· ἐπεκτύπεον δὲ βοεῖαι ἀνδρῶν στεινομένων κανάχιζε δὲ συμμιγὲς ἠχώ. ἀλλ' ὅτε δὴ κατὰ νηὸν ἐδύσατο καὶ βάσιν ἔγνω δώματος ἀστυφέλικτον, ὅλην ἔτρεψε μενοινὴν ἐς κορυφὴν περίμετρον, ἐπευφήμησε δὲ τέχνην καὶ νόον Ἀνθεμίοιο κεκασμένον ἔμφρονι βουλῇ. κεῖνος ἀνὴρ τὰ πρῶτα θεμείλια πήξατο νηοῦ εὐκαμάτων βουλῇσιν ὑποδρήσσων βασιλήων, δεινὸς ἀνὴρ καὶ κέντρον ἑλεῖν καὶ σχῆμα χαράξαι, ὃς τοίχοις ἐνέηκε τόσον σθένος ὅσσον ἐρίζειν δαίμονος ἀντιβίοιο βαρυτλήτοισιν ἐρωαῖς. οὐ γὰρ ἀποτμηγέντος ἐρικνήμοιο καρήνου ὤκλασεν, ἀλλ' ἀδόνητον ἐϋκρήπιδι θεμείλωι ἴχνος ἐπεστήριξεν· ἐπὶ προτέροισι δὲ τοίχοις ἰθυντὴρ μεγάλοιο παρ' Αὐσονίοισι θοώκου αὖτις ἀμωμήτοιο χάριν δωμήσατο κόρσης.

Ἀλλὰ τίς ἂν μέλψειεν ὅπως ὑψαύχενι κόσμωι νηὸν ἀνεζώγρησε; τίς ἄρκιός ἐστι χαράξαι μῆτιν ἀριστώδινα πολυσκήπτρου βασιλῆος; κεῖνα μέν, ὦ σκηπτοῦχε, μεμηλότα τέκτονι τέχνηι λείψομεν, εὐκαμάτων δὲ τεῶν ἐπὶ τέρματα μόχθων ἵξομαι, ἀρτιτέλεστον ἰδὼν σέβας, ὧι ἔπι πάσης θεῖος ἔρως ἀκτῖνας ἀνεπτοίησεν ὀπωπῆς. πᾶς βροτὸς ἀγλαόμορφον ἐς οὐρανὸν ὄμμα τανύσσας οὐκ ἐπὶ δὴν τέτληκεν ἀναγναμφθέντι τραχήλωι κύκλιον ἀστροχίτωνος ἰδεῖν λειμῶνα χορείης, ἀλλὰ καὶ ἐς χλοάουσαν ἀπήγαγεν ὄμμα κολώνην, καὶ ῥόον ἀνθεμόεντος ἰδεῖν ἐπόθησεν ἀναύρου καὶ στάχυν ἡβώοντα καὶ εὐδένδρου σκέπας ὕλης πώεά τε σκαίροντα καὶ ἀμφιέλικτον ἐλαίην, ἄμπελον εὐθαλέεσσιν ἐπικλινθεῖσαν ὀράμνοις καὶ χαροποῦ γλαυκῶπιν ὑπὲρ πόντοιο γαλήνην ξαινομένην πλωτῆρος ἁλιβρέκτοισιν ἐρετμοῖς. εἰ δέ τις ἐν τεμένεσσι θεουδέσιν ἴχνος ἐρείσει, οὐκ ἐθέλει παλίνορσον ἄγειν πόδα, θελγομένοις δὲ ὄμμασιν ἔνθα καὶ ἔνθα πολύστροφον αὐχένα πάλλειν· πᾶς κόρος εὐπήληκος ἐλήλαται ἔκτοθεν οἴκου. τοῖον ἀειφρούρητος ἀμεμφέα νηὸν ἐγείρει κοίρανος ἀθανάτοιο θεοῦ χραισμήτορι βουλῆι. σοῖς γάρ, ἄναξ, καμάτοισιν ἐφέλκεαι ἵλαον εἶναι Χριστὸν ὑπερκύδαντα διαμπερές. οὐ γὰρ ἐρεῖσαι Ὄσσαν ἐρικνήμιδα κατ' Οὐλύμποιο καρήνων ἤθελες, οὐκ Ὄσσης ὑπὲρ αὐχένα Πήλιον ἕλκειν, ἀμβατὸν ἀνδρομέοισιν ὑπ' ἴχνεσιν αἰθέρα τεύχων· ἀλλ' ὁσίοις μόχθοισιν ὑπέρτερον ἐλπίδος ἔργον ἐξανύσας ὀρέων μὲν ἐπεμβάδος οὔτι χατίζεις, ὥς κεν ἀναΐξειας ἐς οὐρανόν, εὐσεβίης δὲ ἰθυπόροις πτερύγεσσι πρὸς αἰθέρα δῖον ἐλαύνεις. Ἀλλὰ τί δηθύνω λαθικηδέος ἦμαρ ἑορτῆς ὑμνῆσαι; τί δὲ μῦθον ἑλίσσομεν ἔκτοθι νηοῦ; ἴομεν ἐν τεμένεσσι, θεὸν δ' ὑμνήσατε μύσται ἱκέσιον καλέοντες ἐμῶν χραισμήτορα μύθων. Ἄρτι μὲν ἀμβλυνθεῖσα γένυν μετὰ βότρυας ἅρπη ἐσσομένης ἀνέμιμνε θερειγενὲς ἔργον ἀμάλλης, ἠέλιος δὲ νότοιο παρὰ πτερὸν ἡνία πάλλων αἰγὸς ἐς ἰχθυόεντος ἀθαλπέας ἤλαε μοίρας, ἄρτι κατηφήσαντα λιπὼν ἀφετῆρα βελέμνων. ἤλυθε δ' ἠριγένεια σεβάσμιος, οἰγομένη δὲ ἄμβροτος ἀρτιδόμοιο πύλη μυκήσατο νηοῦ, λαὸν ἔσω καλέουσα καὶ ἤρανον. εὖτε κελαινὴ νὺξ μινύθει καὶ πᾶσιν ἀέξεται ἠμάτιον φῶς, ὣς ἐτεὸν μινύθει μεγάλου νηοῖο φανέντος νὺξ ἀχέων καὶ πάντας ἐπέδραμε χάρματος αἴγλη. ἔπρεπέ σοι, σκηπτοῦχε μεγασθενές, ἔπρεπε Ῥώμη, ἔπρεπεν ἀμβροσίοιο θεοῦ προκέλευθον ἑορτῆς ὑμετέροις λαοῖσι θύρην νηοῖο πετάσσαι· ἔπρεπεν ἑξείης μετὰ θέσκελον ἦμαρ ἐκεῖνο ζωοτόκου Χριστοῖο γενέθλιον ἦμαρ ἱκέσθαι. καὶ δὴ νὺξ τετέλεστο προηγέτις εὔποδος ἠοῦς εὐφροσύνην καλέουσα, θεοῦ δ' ὑπεδέξατο κῆρυξ ἄμβροτος ἀγρύπνοιο Πλάτων κελάδημα χορείης θεσπεσίοις τεμένεσσιν ἑοῖς, ὅθι μυστίδι φωνῆι παννυχίους Χριστοῖο βιαρκέος ἀνέρες ὕμνους ἀσπασίως ἐβόησαν ἀσιγήτοισιν ἀοιδαῖς. ἀλλ' ὅτε δὴ σκιόεσσαν ἀναστείλασα καλύπτρην οὐρανίας ῥοδόπηχυς ὑπέδραμεν ἄντυγας αἴγλη, δὴ τότε λαὸς ἅπας



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συναγείρετο, πᾶς τε θοώκων ἀρχός, ὑποδρήσσων σθεναροῦ βασιλῆος ἐφετμαῖς καὶ Χριστῶι βασιλῆϊ χαρίσια δῶρα κομίζων, ἱκεσίοις στομάτεσσι θεουδέας ἤπυεν ὕμνους, ἄργυφον εὐκαμάτοις ὑπὸ χείρεσι κηρὸν ἀνάπτων. ἕσπετο δ' ἀρητήρ, ἱερῆς δ' ἐξῆρχε χορείης, ἀρητὴρ πολύυμνος, ὃν ἄξιον εὕρετο νηοῦ Αὐσονίων σκηπτοῦχος· ὅλης δ' ἐστείνετο Ῥώμης ἀτραπὸς εὐρυάγυια. μολὼν δ' ἐπὶ θέσπιδας αὐλὰς δῆμος ἅπας ἐπέβωσε χαρίσιον, οὐρανίας δὲ ἀχράντους ἐδόκησεν ἐς ἄντυγας ἴχνια θέσθαι. Οἴξατέ μοι κληῖδα θεουδέες, οἴξατε, μύσται, οἴξατε δ' ἡμετέροισιν ἀνάκτορα θέσκελα μύθοις, εὐχωλὴν δ' ἐπέεσσι κομίσσατε· καὶ γὰρ ἀνάγκη ἁπτομένους βαλβῖδος ἐς ὑμέας ὄμμα τανύσσαι.

Τρισσὰ μὲν ἀντολικῶν ἀναπέπταται ἔνδια κύκλων ἡμιτόμων· ὑψοῦ δὲ μετ' ὄρθιον αὐχένα τοίχων σφαίρης τετρατόμοιο λάχος τὸ τέταρτον ἀνέρπει, οἷον ὑπὲρ τριλόφοιο καρήατος, ὑψόθι νώτων, σχῆμα πολυγλήνοισι ταὼς πτερύγεσσιν ἐγείρει. κόγχας ταῦτα κάρηνα σοφοὶ τεχνήμονι μύθωι ἀνέρες ηὐδάξαντο· τὸ δ' ἀτρεκές, εἴτ' ἀπὸ κόγχου εἰναλίου καλέουσι δαήμονες εἴτ' ἀπὸ τέχνης, αὐτοί που δεδάασι. μέση δ' ἐζώσατο θώκους μυστιπόλους καὶ βάθρα περίδρομα. καὶ τὸ μὲν αὐτῶν ὑστατίην ὑπὸ πέζαν ἀολλίζουσα συνέλκει ἐγγύτερον περὶ κέντρον ἐπὶ χθονός· ὅσσα δ' ἀνίσχει ὑψόθεν, εὐρύνουσι διάστασιν ἄχρι θοώκων ἀργυρέων κατὰ βαιόν, ἀεξομένοισι δὲ κύκλοις αἰὲν ἐπεμβαίνουσαν ἐπειλίσσουσι κεραίην. Τὴν δὲ μετεκδέχεται κρατεροῖς ἀραρυῖα θεμείλοις ἐς βάσιν εὐθύγραμμος ὕπερθε δὲ κύκλιος ἄντυξ, σχήμασιν οὐ σφαίρης ἐναλίγκιος, ἀλλὰ κυλίνδρου ἄνδιχα τεμνομένοιο. δύω δ' εὐκίονας ἄλλας κόγχας ἀμφοτέρωθι προβάλλεται ἐς δύσιν ἕρπειν, οἷάπερ ἐκτανύουσα περιγναμφθέντας ἀγοστούς, λαὸν ὅπως πολύυμνον ἑοῖς ἀγκάσσεται οἴκοις. καὶ τὰς μὲν χρυσέοισιν ἐλαφρίζουσι καρήνοις στικτοὶ πορφυρέοισιν ἀποστίλβοντες ἀώτοις κίονες, ἡμιτμῆγι περισταδὸν ἄντυγι κύκλου, ἄχθος ἀερτάζοντες ὑπέρβιον, οὕς ποτε Θήβης Νειλώιης ἐλόχευσαν ἐϋκνήμιδες ἐρίπναι. κίοσι μὲν δοιοῖσιν ἀείρεται ἔνθα καὶ ἔνθα ἀμφοτέρης ἁψῖδος ἐδέθλια· τριχθαδίας δὲ ἡμιτελεῖς ἁψῖδας ὀλίζονας ἴχνεσι κόγχης ἄνδρες ὑπειλίξαντο δαήμονες, ὧν ὑπὸ πέζαν κίονες ἱδρύσαντο καρήατα δέσμια χαλκῶι, γλυπτά, χρυσεότευκτα, παραπλάζοντα μερίμνας. εἰσὶ δὲ πορφυρέαις ἐπὶ κίοσι κίονες ἄλλαι, ἀγλαὰ Θεσσαλικῆς χλοερώπιδος ἄνθεα πέτρης· ἔνθα [σὺ] θηλυτέρων ὑπερώϊα καλὰ νοήσεις. σχῆ[μα δ' ὅ]λον φορέουσιν, ὃ νειόθεν ἔστιν ἰδέσθαι· ἓξ δ' [ὑπὸ Θ]εσσαλικοῖσι καὶ οὐ δύο κίοσι λάμπει. ἔστι δὲ θαμβῆσαι νόον ἀνέρος, ὅς ποτε δοιαῖς πήξατο θαρσαλέως ἐπὶ κίοσι τρισσάκι δοιάς, οὐδὲ βάσιν κενεοῖο κατ' ἠέρος ἔτρεσε πῆξαι. πάντα δὲ Θεσσαλικοῖο μεταίχμια κίονος ἀνὴρ λαϊνέοις ἔφραξεν ἐρείσμασιν, ἔνθα κλιθεῖσαι ἐργοπόνους ἀγκῶνας ἐπηρείσαντο γυναῖκες. Οὕτως ἀντολικὰς μὲν ἐπ' ἄντυγας ὄμμα τανύσσας θάμβος ἀειδίνητον ἐσόψεαι. ἀλλ' ἐπὶ πάσαις ἐκφύεται πολύκυκλον ὑπὲρ σκέπας οἷά τις ἄλλη ἁψὶς ἠερόφοιτος, ἀνευρύνουσα κεραίην ἠέρι κολπωθεῖσαν, ἀίσσει δ' ἄχρι καρήνου ἄχρι βαθυκνήμοιο καὶ ἄντυγος, ἧς κατὰ νῶτον πυθμένας ἐρρίζωσε μέσου κόρυς ἄμβροτος οἴκου. ὧς ἡ μὲν βαθύκολπος ἀνέσσυται ἠέρι κόγχη, ὑψόθεν ἀντέλλουσα μία, τρισσοῖσι δὲ κόλποις νέρθεν ἐπεμβεβαυῖα· διατμηγεῖσα δὲ νώτοις πένταχα μοιρηθέντα δοχήϊα φωτὸς ἀνοίγει, λεπταλέαις ὑάλοις κεκαλυμμένα, τῶν διὰ μέσσης φαιδρὸν ἀπαστράπτουσα ῥοδόσφυρος ἔρχεται ἠώς.

### Διαιρεθείσης πάλιν τῆς ἀκροάσεως προελέχθησαν οἱ ὑποκείμενοι στίχοι.

Εἰ μὲν πρὸς ἄλλο θέατρον ὑμᾶς συγκαλεῖν συχνῶς ἐπεχείρουν, ὄχλον ἄν τις εἰκότως ἡγήσατο τοῦτο· νῦν γε μὴν εὖ οἶδ' ὅτι πρὸς τὸν νεὼν δραμόντες αὖθις τὸν μέγαν ἐρᾶτε πάντες τῆς ἀκοῆς ὡς τῆς θέας. οὐκοῦν τὸ λοιπὸν προσκαταθήσω τοῦ χρέους. Πάντα καὶ ἑσπερίην τις ἐπὶ κλίσιν ἶσα νοήσει σχήμασιν ἠώιοις, ὀλίγων ἄτερ.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὐ γὰρ ἐν αὐτῆι μεσσάτιον κατὰ χῶρον ἕλιξ περιδέδρ[ομεν] ἄντυξ οἷάπερ ἀντολικοῖς ἐπὶ τέρμασιν, ἦ[χι θυ]ηλῆς ἴδμονες ἀρητῆρες ἐνιδρύσαντο θοώκους ἀργυρέοις στίλβοντας ἀπειρεσίοισι [μετάλ]λ[οι]ς. ἀλλὰ δύσις πυλεῶνα μέγαν πολυ[δαίδ]αλ[ον ἴσχ]ει, οὐχ ἕνα· τριχθαδίους γὰρ ἔχει κατὰ τέ[λσα μελ]άθρου. μηκεδανὸς δ' ἐπὶ τοῖσι πύλαις παραπέπ[ταται] αὐλών, δεχνύμενος προσιόντας ὑπ' εὐρ[υπ]όροισι θυρέτροις, μῆκος ἔχων ὅσον εὖρος ἀνάκτορα θέσκελα νηοῦ. χῶρος ὅδε Γραικοῖσι φατίζεται ἀνδράσι νάρθηξ. ἔνθα δέ τις κατὰ νύκτα διαμπερὲς ἦχος ἀνέρπων εὐκέλαδος Χριστοῖο βιαρκέος οὔατα θέλγει, ὁππόθι τιμήεντα θεουδέος ὄργια Δαυὶδ ἀντιπόροις ἰαχῆισιν ἀείδεται ἀνδράσι μύστης, Δαυὶδ πρηϋνόοιο, τὸν ἤινεσε θέσκελος ὀμφή, φωτὸς ἀγακλήεντος, ὅθεν πολύυμνος ἀπορρὼξ γαστέρι δεξαμένη τὸν ἀμήτορα παῖδα θεοῖο Χριστὸν ἀνεβλάστησεν ἀπειρογάμοισι λοχείαις, μητρώιοις δ' ὑπέθηκε τὸν ἄσπορον υἱέα θεσμοῖς. ἑπτὰ δ' ἀνευρύνας ἱεροὺς πυλεῶνας ἀνοίγει, λαὸν ἔσω καλέοντας ὁμιλαδόν· ἀλλ' ὁ μὲν αὐτῶν ἐνστρέφεται νάρθηκος ἐπὶ στεινοῖο μετώπου ἐς νότον, ὃς δὲ βορῆος ἐπὶ πτερά· τῶν γε μὲν ἄλλων νηοκόρος παλάμηισι μεμυκότα θαιρὸν ἀνοίγει ἑσπέριον περὶ τοῖχον, ὃς ὕστατός ἐστι μελάθρου.

Πῆι φέρομαι; τίς μῦθον ἀνήρπασε πλαγκτὸν ἀήτης οἷάπερ ἐν πελάγεσσι; μέσον παραδέδρομε νηοῦ χῶρον ὑπερκύδαντα. παλιννόστησον, ἀοιδή, θάμβος ὅπηι πανάπιστον ἰδεῖν, πανάπιστον ἀκοῦσαι. εἰσὶ γὰρ ἀντολικούς τε καὶ ἑσπερίους μετὰ κύκλους, κύκλους ἡμιτελεῖς, μετὰ κίονα δίζυγα Θήβης, εὐπαγέες τοῖχοι πίσυρες, γυμνοὶ μὲν ὁρᾶσθαι πρό[σθεν,] ἐπὶ πλευρὰς δὲ καὶ ἀρραγέας περὶ νώτους ἀντ[ιπόρο]ις σφιγχθέντες ἐρείσμασιν· εὐκαμάτοις δὲ τέτρ[αχα μο]ιρηθέντες ἐφεδρήσσουσι θεμείλοις, πέτρ[αις] ἀρραγέεσσιν ἀρηρότες, ὧν διὰ μέσσου ψῆγμα πυριφλέκτοιο λίθου προχοῆισι κεράσσας ἁρμονίην ξύνωσεν ἀνὴρ δωμήτορι τέχνηι. τοῖς ἔπι μυριόμετρος ἐπιγναμφθεῖσα κεραίη, οἷάπερ εὐκύκλοιο πολύχροος ἴριδος ἄντυξ, ἡ μὲν ἐπὶ ζεφύρου τρέπεται πτερόν, ἡ δὲ βορῆος ἐς κλίσιν, ἡ δὲ νότοιο, καὶ ὄρθιος ἔγρεται ἄλλη εὖρον ἐπὶ φλογόεντα. βάσιν δ' ἀτίνακτον ἑκάστη γείτοσιν ἀμφοτέρωθεν ὁμοῦ συνέμιξε κεραίαις, ξυνοῦ πηγνυμένην ἐπὶ τέρμονος· ὀρνυμένη δὲ ἠερίαις κατὰ βαιὸν ἐϋγνάμπτοισι κελεύθοις τῆς πρὶν ὁμογνήτοιο διίσταται. ἀλλὰ καὶ αὐτῶν ἁψίδων τὸ μεταξὺ καλοῖς ἀναπίμπλαται ἔργοις. ἔνθα γὰρ ἀλλήλων ἀπονεύμεναι ἤθεσι τέχνης ἠέρα γυμνὸν ἔδειξαν, ἀνέσσυται ἶσα τριγώνωι τοῖχος ἐπικλινθεὶς ὅσον ἄρκιον, ἄχρι συνάψηι πήχεας ἀμφοτέρωθεν ὁμόζυγος ἄντυγι κύκλου. τέτραχα δ' ἑρπύζων ἀνατείνεται, ὄφρα φανείη ἓν, στε[φάνοι]ς κύκλοιο περίδρομος ὑψόθι νώτου. μέσσα μὲν ἁψ[ίδω]ν, ὅσα κύκλιον ἄντυγα τεύχει, ὀπταλέαις πλίνθοισιν ἀρηρότα δήσατο τέχνη, ἄκρα δὲ πετραίοισι κεράατα πῆξε δομαίοις. ἁρμονίαις δ' ἐνέηκε πλάκας μαλακοῖο μολύβδου, ὄφρα κε μὴ λάιγγες ἐπ' ἀλλήληισι δεθεῖσαι καὶ στυφελὰ στυφελοῖσιν ἐπ' ἄχθεσιν ἄχθεα θεῖσαι νῶτα διαθρύψωσι· μεσοδμήτωι δὲ μολύβδωι ἠρέμα πιληθεῖσα βάσις μαλθάσσετο πέτρου. Λαϊνέη δ' ὅλα νῶτα κατεσφήκωσέ τις ἄντυξ, πάντοθεν εὐδίνητος, ὅπηι καὶ ῥίζα καθέρπει σφαίρης ἡμιτόμοιο καὶ ἄντυγές εἰσιν ἑλιγμῶι τοῦ πυμάτου κύκλοιο, τὸν ἁψίδων κατὰ νῶτα ἀνέρες ἐστεφάνωσαν. ἐπὶ προβλῆτι δὲ κόσμωι ἐκκρεμέες λάϊγγες ἐτορνώσαντο πορείην στεινήν, τερμιόεσσαν· ὅπηι καὶ φωσφόρος ἀνὴρ ἄτρομος ἀμφιθέων ἱεροὺς λαμπτῆρας ἀνάπτει. ἐγρομένη δ' ἐφύπερθεν ἐς ἄπλετον ἠέρα πήληξ πάντοθι μὲν σφαιρηδὸν ἑλίσσεται, οἷα δὲ φαιδρὸς οὐρανὸς ἀμφιβέβηκε δόμου σκέπας· ἀκροτάτης δὲ σταυρὸν ὑπὲρ κορυφῆς ἐρυσίπτολιν ἔγραφε τέχνη. ἔστι δ' ἰδεῖν μέγα θάμβος, ὅπως κατὰ βαιὸν ἰοῦσα εὐρυτέρη μὲν ἔνερθεν, ὕπερθε δὲ μεῖον ἀνέρπει· οὐ μὴν ὀξυκάρηνος ἀνέσσυται, ἀλλ' ἄρα μᾶλλον ὡς πόλος ἠερόφοιτος. ἐπ' εὐκαμάτοισι δὲ νώτοις ἁψίδων ἐπέπηξε βάσιν [ πάντοθι δινηθεῖσαν. ἀνερπ[ ]ουσ[ ]ας λαοδόμων παλάμηισιν ἀμοιβαδὸν ἔξεσεν οἴμους. εἰσορόων φαίης κτένα [γύρ]ιον, ὧι φύσις [ ἀγλαΐην ἐχάραξε[ οὐκέτι δ' ἀλλήλη[σιν ὁ]μ[ιλ]αδὸν εἰ[ς ἓν] ἰοῦσα[ι ἀτραπιτοὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

συνέκυρσαν ἐριχρύσοιο κ[αρή]νου· ἀλλὰ μέση στεφανηδὸν ἄνω[ ]ἄντυξ ἀσκαφέος χώροιο, τὸν οὐκ ἐ[ τέ]χνη. ]τύπος σταυροῖο μεσόμ[φα]λος ἔνδοθι κύκλου λεπταλέηι ψηφῖδι χαράσσεται, ὄφρα σαώσηι νηὸν ἀειφρούρητον ὅλου κόσμοιο σαωτήρ. σφαίρης δ' ἡμιτόμου περὶ πυθμένα πεντάκις ὀκτὼ εὐφαέων ἀψῖδας ἐτεχνήσαντο θυρέτρων, ὀππόθεν ἁβροκόμοιο σέλας πορθμεύεται ἠοῦς. Θάμβος ἔχω, τίνα μῆτιν ἐπήραρεν εὐρέϊ νηῶι ἡμέτερος σκηπτοῦχος, ὅπως δωμήτορι μόχθωι ἀνέρες, εὐτέχνοισιν ὑποδρήσσοντες ἐδέθλοις, πλίνθοις ὀπταλέηισιν ἀνεστήσαντο δεθείσας ἄντυγας ἀψίδων τε καὶ εὐρυπόρου σκέπας οἴκου. καὶ γὰρ ἀνὴρ πολύμητις, ἀνειμένος ἴδμονι τέχνηι, ἄξυλον εὐρόφοιο τέγος τεχνήσατο νηοῦ. οὐδὲ γὰρ οὐ Φοίνισσαν ὑπὲρ Λιβάνοιο κολώνην οὐδὲ μὲν Ἀλπείων σκοπέλων ἀνὰ δάσκιον ὕλην Ἀσσύριος δρυτόμος τις ἀνὴρ ἢ Κελτὸς ἀράσσων δενδροκόμοις βουπλῆγας ἐν ἄλσεσιν, οὔ τινα πεύκην, οὐκ ἐλάτην ἐνόησεν ἐπαρκέας οἶκον ἐρέψαι· οὐδὲ μὲν οὐ κυπάρισσον Ὀροντίδος ἄλσεα Δάφνης, οὐ Πατάρων εὔδενδρος ἀνηέξησεν ἐρίπνη, ἥτις ἀπειρεσίοιο τέγος νηοῖο πυκάσσηι. καὶ γὰρ ἄναξ πολύυμνος, ἃ μὴ φύσις εὗρε καλύψαι δένδρεσι μηκεδανοῖσι, λίθων ἐκαλύψατο κύκλοις. οὕτω τετραπόροισιν ἐφ' ἀψίδεσσι καλύπτρη εὐπήληξ βαθύκολπος ἀείρεται. ἦ τάχα φαίης οὐρανὸν ἐς πολύκυκλον ἀλώμενον ὄμμα τιταίνειν. Ἀλλ' ἐπὶ [μὲν φαέθοντ]α καὶ ἕσπερον οὔτι νοήσεις ἀψίδων ὑπένερθεν, ὅλος δ' ἀναπέπτ[αται ἀ]ήρ· ἐς δὲ νότον κελάδοντα καὶ εἰς κλίσιν ἄβροχον ἄρκτων τοῖχος ἐρισθενέτης ἀνατείνεται ἄχρι γενείου ἄντυγος εὐτροχάλοιο, λέλαμπε δὲ τετράκι δοιαῖς πλησιφαὴς θυρίδεσσιν. ἐρήρεισται δ' ὄγε τοῖχος νειόθι λαϊνέοισιν ὑπ' ἴχνεσιν· ἓξ γὰρ ὑπ' αὐτῶι κίονες Αἱ[μ]ο[νι]ῆες ἴσοι χλοάοντι μαράγδωι ἀκαμάτων ξυνοχῆας ἀνεστήσαντο τενόντων, ἔνθα γυναικείων ἀναφαίνεται ἔνδια θώκων. τοὺς δὲ χαμαιπαγέες πίσυρες μεγάλοισι [κα]ρήνοις κίονες ὀχλίζουσιν ὑπ' ἀστυφέλικτον ἀνάγκην χρυσόκομοι χαρίτεσσι κατήορο[ι, ]ται Θεσσαλίδος πέτρης ἀμαρύγματα· μέσσα δὲ νηοῦ ἔνδια καλλιχόροιο διακρίνουσιν ἐδέθλων γείτονος αἰθούσης περιμήκεος. οὔ ποτε τοίους κίονας ἐτμήξαντο Μολοσσίδος ἔνδοθι γαίης, ὑψιλόφους, χαρίεντας, ἐΰχλοας ἄλσεσι[ ἄνθεσι δαιδαλέοισι τεθηλότας. –Ἀλλὰ καὶ αὐτῆς αἰθούσης κατὰ μέσσον ἐρείσατο τέσσαρας ἄλλους κίονας Ἀνθέμιος πολυμήχανος ἠδὲ σὺν αὐτῶι πάνσοφον Ἰσιόδωρος ἔχων νόον· ἀμφότεροι γὰρ καλλιπόνων βουλῆισιν ὑποδρήσσοντες ἀνάκτων νηὸν ἐδωμήσαντο πελώριον· ἀλλ' ἐνὶ μέτροις μήκεος ἐγγυτέρων μὲν ὀλίζονες, ἐκ δὲ τιθήνης τῆς αὐτῆς χλοεροῖσιν ἀποστίλβουσιν ἀώτοις. ἀλλὰ γὰρ οὐ στοιχηδὸν ἐπισχερὼ εὔποδας οὗτοι πυθμένας ἐρρίζωσαν, ἐφεδρήσσουσι δὲ γαίηι ἀντίοι ἀλλήλοισι δύω δυσίν· ὧν κατὰ κόρσης τετραπόροις σειρῆισιν ἐπειλιχθεῖσα κεραίη νῶτον ὑπεστήριξε γυναικείοισιν ἐδέθλοις. ἐγγύθι δ' ἔστι πύλη βορεώτιδος ἐς κλίσιν αὔρης, λαὸν ἀπιθύνουσα πρὸς ἀχράαντα λοετρά, ἀνδρομέου βιότοιο καθάρσια, τῶν ἄπο λυγρὴ σμῶδιξ ὠλεσίθυμος ἐλαύνεται ἀμπλακιάων.

Τέτρασι δ' ἑξείης ἐπὶ κίοσιν, ἔνθα καὶ ἔνθα, ἁβροῖς, Θεσσαλικοῖσι, πρὸς ἀμφιλύκην τε καὶ ἠῶ αἰθούσης κατὰ μῆκος ἑλίσσεται ἔργα κυλίνδρων ἡμιτόμοις ἀτάλαντα διοδμήτους παρὰ τοίχους, τρητά, διαστείχουσιν ἀνειμένα· πρὸς μὲν ἀήτην ἀρκτῶιον ξυνοχῆας ἀνακλίνουσι θυρέτρων διζυγέων· νότιον δὲ ποτὶ πτερόν, ἄντα πυλάων, εὐτύκτους κενεῶνας ἐειδομένους τινὶ παστῶι· πρὸς δὲ φάος καὶ νύκτα πάλιν δύο κίονας ἄλλους Αἱμονίους δοιούς τε περικλύστου Προκονήσου, στήμονας, ὑψιλόφους, πυλέων ἄγχιστα παγέντας. ἀλλ' ἐπὶ μὲν φαέθοντα πύλη μία, πρὸς δὲ κελαινῆς νυκτὸς ἕδος δισσὴν ἐπὶ δικλίδα λαὸς ὁδεύει. Δήεις καὶ νοτίην βορεώτιδι πᾶσαν ὁμοίην μηκεδανὴν αἴθουσαν, ἔχει δέ τι καὶ πλέον ἥδε· τείχει γάρ τινι χῶρον ἀποκρινθέντα φυλάσσει Αὐσονίων βασιλῆϊ θεοστέπτοις ἐν ἑορταῖς. ἔνθα δ' ἐμὸς σκηπτοῦχος ἐφήμενος ἠθάδι θώκωι μυστιπόλοις βίβλοισιν ἑὴν ἐπέτασσεν ἀκουήν. Ἶσα δὲ τοῖς ὑπένερθε καὶ ὑψόθι πάντα νοήσει θηλυτέρην αἴθουσαν ἐς ἀμφοτέρας τις



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΠΤΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἀνελθών· ἡ γὰρ ὑπερτέλλουσα πρὸς ἕσπερον οὐκέτι δοιαῖς ἴση ταῖς ἑτέρησιν, ὑπὲρ νάρηκος ἰοῦσα. Ἀλλὰ καὶ ἀμβροσίοιο πρὸς ἑσπέριον πόδα νηοῦ τέτρασιν αἰθούσῃσι περίδρομον ὄψεαι αὐλήν, ὧν μία μὲν νάρθηκι συνάπτεται, αἵ γε μὲν ἄλλαι πεπταμέναι τελέθουσι πολυσχιδέεσσι κελεύθοις. μηκεδανῆς δ' ἐρίτιμον ἐς ὀμφαλὸν ἵσταται αὐλῆς εὐρυτάτη φιάλη τις, Ἰασσίδος ἔκτομος ἄκρης, ἔνθα ῥόος κελαδῶν ἀναπάλλεται ἠέρι πέμπειν ὁλκὸν ἀναθρώσκοντα βίῃ χαλκήρεος αὐλοῦ, ὁλκὸν ὅλων παθέων ἐλατήριον, ὁππότε λαὸς μηνὶ χρυσοχίτωνι, θεοῦ κατὰ μύστιν ἑορτήν, ἐννυχίοις ἄχραντον ἀφύσσεται ἄγγεσιν ὕδωρ· ὁλκὸν ἀπαγγέλλοντα θεοῦ μένος· οὐ γὰρ ἐκείνοις οὔποτε πυθομένοισιν ἐπέχραεν ὕδασιν εὐρώς, εἰ καὶ πουλυέτηρον ἐπὶ χρόνον ἔκτοθι πηγῆς κάλπιδος ἐν γυάλοισιν ἐελμένα δώμασι μίμνοι. λαότορον δ' ἀνὰ τοῖχον ἐΰγραφα δαίδαλα τέχνης πάντοθεν ἀστράπτουσιν. ἁλιστεφέος Προκονήσου ταῦτα φάραγξ ἐλόχευσε. πολυτμήτων δὲ μετάλλων ἁρμονίη γραφίδεσσιν ἰσάζεται· ἐν γὰρ ἐκείνῃ τετρατόμοις λάεσσι καὶ ὀκτατόμοισι νοήσεις ζευγνυμένας κατὰ κόσμον ὁμοῦ φλέβας· ἀγλαΐην δὲ ζωοτύπων λάϊγγες ἐμιμήσαντο δεθεῖσαι.

Πολλὰς δ' ἔνθα καὶ ἔνθα περὶ πλευράς τε καὶ ἄκρας ἄντυγας ἀμβροσίοιο κατόψεαι ἔκτοθι νηοῦ αὐλὰς ἀσκεπέας· τόδε γὰρ τεχνήμονι κόσμωι ἠνύσθη περὶ σεμνὸν ἀνάκτορον, ὄφρα φανείη φέγγεσιν εὐγλήνοισι περίρρυτον ἠριγενείης. Καὶ τίς ἐριγδούποισι χανὼν στομάτεσσιν Ὁμήρου μαρμαρέους λειμῶνας ἀολλισθέντας ἀείσει ἠλιβάτου νηοῖο κραταιπαγέας περὶ τοίχους καὶ πέδον εὐρυθέμειλον; ἐπεὶ καὶ χλωρὰ Καρύστου νῶτα μεταλλευτῆρι χάλυψ ἐχάραξεν ὀδόντι καὶ Φρύγα δαιδαλέοιο διέθρισεν αὐχένα πέτρου, τὸν μὲν ἰδεῖν ῥοδόεντα, μεμιγμένον ἠέρι λευκῶι, τὸν δ' ἅμα πορφυρέοισι καὶ ἀργυφέοισιν ἀώτοις ἁβρὸν ἀπαστράπτοντα. πολὺς δ' εὐπήχεϊ Νείλωι φορτίδα πιλήσας ποταμίτιδα λᾶας ἀνίσχων πορφύρεος λεπτοῖσι πεπασμένος ἀστράσι λάμπει. καὶ χλοερὸν λάϊγγος ἴδοις ἀμάρυγμα Λακαίνης μάρμαρά τε στράπτοντα πολυπλάγκτοισιν ἑλιγμοῖς, ὅσσα φάραγξ βαθύκολπος Ἰασσίδος εὗρε κολώνης, αἱμαλέωι λευκῶι τε πελιδνωθέντι κελεύθους λοξοτενεῖς φαίνουσα, καὶ ὁππόσα Λύδιος ἀγκὼν ὠχρὸν ἐρευθήεντι μεμιγμένον ἄνθος ἑλίσσων· ὅσσα Λίβυς φαέθων, χρυσέωι σελαγίσματι θάλπων, χρυσοφανῆ κροκόεντα λίθων ἀμαρύγματα τεύχει ἀμφὶ βαθυπρήωνα ῥάχιν Μαυρουσίδος ἄκρης· ὅσσα τε Κελτὶς ἀνεῖχε βαθυκρύσταλλος ἐρίπνη χρωτὶ μέλαν στίλβοντι πολὺ γλάγος ἀμφιβαλοῦσα ἔκχυτον, ᾗ κε τύχῃσιν, ἀλώμενον ἔνθα καὶ ἔνθα· ὅσσα τ' Ὄνυξ ἀνέηκε διαυγάζοντι μετάλλωι ὠχριόων ἐρίτιμα, καὶ Ἀτρακὶς ὁππόσα λευροῖς χθὼν πεδίοις ἐλόχευσε καὶ οὐχ ὑψαύχενι βήσσῃ, πῆι μὲν ἅλις χλοάοντα καὶ οὐ μάλα τῆλε μαράγδου, πῆι δὲ βαθυνομένου χλοεροῦ κυανώπιδι μορφῆι· ἦν δέ τι καὶ χιόνεσσιν ἀλίγκιον ἄγχι μελαίνης μαρμαρυγῆς, μικτὴ δὲ χάρις συνεγείρετο πέτρου. Πρὶν δὲ πολυτμήτοιο σέλας ψηφῖδος ἱκέσθαι, λεπτὰς λαοτόρος παλάμῃ λάϊγγας ὑφαίνων μαρμαρέας ἔγραψε μετὰ πλάκας ἐς μέσα τοίχων σύνδετον εὐκάρποισι κέρας βεβριθὸς ὀπώραις καὶ ταλάρους καὶ φύλλα, κατ' ἀκρεμόνων δὲ χαράσσει ἑζομένην ὄρνιθα. μετ' εὐκεράους δὲ κελεύθους κλήμασι χρυσοκόμοισι περίδρομος ἄμπελος ἕρπει, δεσμὸν ἑλιξοπόρον σκολιοῖς πλέξασα κορύμβοις· ἠρέμα δὲ προνένευκεν, ὅσον καὶ γείτονα πέτρην βαιὸν ἐπισκιάειν ἑλικώδεϊ πλέγματι χαίτης. αἰθούσης τάδε πάντα καλοὺς περινείσσεται οἴκους. ἀλλὰ καὶ ὑψιλόφοις ἐπὶ κίοσιν, ἔνθοδι πέζης λαϊνέης προβλῆτος, ἕλιξ πολύκεστος ἀκάνθης ὑγρὰ διερπύζων ἀνελίσσετο, δεσμὸς ἀλήτης, χρύσεος, ἱμερόεις, ἀκίδα τρηχεῖαν ἑλίσσων· μάρμαρα δ' ὀμφαλόεντα περιστέφει εἴκελα δίσκοις πορφυρέοις, στίλβοντα χάριν θελξίφρονα πέτρης. πᾶν δὲ πέδον στορέσασα Προκοννήσοιο κολώνη ἀσπασίως ὑπέθηκε βιαρκέϊ νῶτον ἀνάσσῃ· ἠρέμα δὲ φρίσσουσα διέπρεπε Βοσπορὶς αἴγλη ἀκροκελαινιόωντος ἐπ' ἀργεννοῖο μετάλλου. Χρυσεοκολλήτους δὲ τέγος ψηφῖδας ἐέργει, ὧν ἄπο μαρμαίρουσα χύδην


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

χρυσόρρυτος ἀκτὶς ἀνδρομέοις ἄτλητος ἐπεσκίρτησε προσώποις. φαίη τις Φαέθοντα μεσημβρινὸν εἴαρος ὥρηι εἰσοράαν, ὅτε πᾶσαν ἐπεχρύσωσεν ἐρίπνην. καὶ γὰρ ἐμὸς σκηπτοῦχος, ὅλης χθονὸς εἰς ἓν ἰούσης, βάρβαρον Αὐσόνιόν τε πολύτροπον ὄλβον ἀγείρας, λάϊνον οὐκ ἔκρινεν ἐπαρκέα κόσμον ἐδέθλοις ἀμβροσίου νηοῖο θεουδέος, ὧι ἔνι πάσης ἐλπίδος εὐφροσύνην ὑπεραυχέα θήκατο Ῥώμη· ἀλλὰ καὶ ἀργυρέοιο χύδην οὐ φείσατο κόσμου. ἐνθάδε Παγγαίοιο ῥάχις καὶ Σουνιὰς ἄκρη ἀργυρέας ὤϊξαν ὅλας φλέβας· ἐνθάδε πολλοὶ ἡμετέρων θημῶνες ἀνωΐχθησαν ἀνάκτων. καὶ γὰρ ὅσον μεγάλοιο πρὸς ὄρθιον ἄντυγα νηοῦ χῶρον ἀναιμάκτοισιν ἀπεκρίναντο θυηλαῖς, οὐκ ἐλέφας, οὐ τμῆμα λίθων ἢ χαλκὸς ὁρίζει, ἀλλ' ὅλον ἐθρίγκωσεν ὑπ' ἀργυρέοισι μετάλλοις. οὐδὲ μὲν οὐ μούνοις ἐπὶ τείχεσιν, ὁππόσα μύστην ἄνδρα πολυγλώσσοιο διακρίνουσιν ὁμίλου, γυμνὰς ἀργυρέας ἔβαλε πλάκας, ἀλλὰ καὶ αὐτοὺς κίονας ἀργυρέοισιν ὅλους ἐκάλυψε μετάλλοις, τηλεβόλοις σελάεσσι λελαμπότας, ἑξάκι δοιούς· οἷς ἔπι, καλλιπόνοιο χερὸς τεχνήμονι ῥυθμῶι, ὀξυτέρους κύκλοιο χάλυψ κοιλήνατο δίσκους, ὧν μέσον ἀχράντοιο θεοῦ δείκηλα χαράξας ἄσπορα δυσαμένου βροτέης ἰνδάλματα μορφῆς, πῆι μὲν ἐϋπτερύγων στρατὸν ἔξεσεν ἀγγελιάων αὐχενίων ξυνοχῆα κατακλίνοντα τενόντων (οὐ γὰρ ἰδεῖν τέτληκε θεοῦ σέβας οὐδὲ καλύπτρηι ἀνδρομέηι κρυφθέντος, ἐπεὶ θεός ἐστιν ὁμοίως ἑσσάμενος καὶ σάρκα λυτήριον ἀμπλακιάων), πῆι δὲ θεοῦ κήρυκας ὁδοὺς ἤσκησε σιδήρου τοὺς προτέρους, πρὶν σάρκα λαβεῖν θεόν, ὧν ἀπὸ φωνῆς ἐσσομένου Χριστοῖο διέπτατο θέσπις ἀοιδή. οὐδὲ μὲν οὐδ' αὐτῶν παραδέδρομεν εἴδεα τέχνη, οἷς κύρτος νεπόδων τε τὸ δίκτυον, οἵτε χαμηλὰ ἔργα βίου προλιπόντες ἀλιτρονόους τε μερίμνας οὐρανίου βασιλῆος ἐφωμάρτησαν ἐφετμῆι, ἀνέρας ἀγρεύοντες, ἀπ' ἰχθυβόλοιό τε τέχνης ζωῆς ἀθανάτοιο καλὴν τανύσαντο σαγήνην. ἄλλοθι δὲ Χριστοῖο κατέγραφε μητέρα τέχνη, φέγγεος ἀενάοιο δοχήϊον, ἧς ποτε γαστὴρ γαστέρος ἐργατίνην ἁγίοις ἐθρέψατο κόλποις. ἐς δὲ μέσας ἱεροῦ πλάκας ἕρκεος, αἳ περὶ φῶτας εὐιέρους τεύχουσι μεταίχμια, γράμμα χαράσσει ἡ γλυφὶς ἓν πολύμυθον· ἀολλίζει γὰρ ἀνάσσης οὔνομα καὶ βασιλῆος· ἴσον γε μὲν ὀμφαλοέσσηι ἀσπίδι μεσσατίοισι τύπον κοιλήνατο χώροις σταυρὸν ἀπαγγέλλουσα. διὰ τρισσῶν δὲ θυρέτρων ἕρκος ὅλον μύστηισιν ἀνοίγεται· ἐν γὰρ ἑκάστηι πλευρῆι βαιὰ θύρετρα διέτμαγεν ἐργοπόνος χείρ. Χρυσείης δ' ἐφύπερθε παναχράντοιο τραπέζης ἄσπετος εὐρυκέλευθον ἐς ἠέρα πύργος ἀνέστη, τετραπόροις ἁψῖσιν ἐπ' ἀργυρέηισι βεβηκώς. κίοσι δ' ἀργυρέηισιν ἀείρεται, ὧν ἐπὶ κόρσης ἀργυρέους ἵδρυσε πόδας τετράζυγος ἁψίς. ὑψόθι θ' ἁψίδων ἀνατείνεται οἷά τε κώνου εἴκελον, ἀλλ' οὐ πάμπαν ὁμοίιον· οὐ γὰρ ἑλίσσει νειόθεν εὐκύκλοιο περίτροχον ἄντυγα πέζης, ἀλλά τις ὀκτάπλευρος ἔφυ βάσις, ἐκ δὲ κελεύθου εὐρυτέρης κατὰ βαιὸν ἐς ὀξυκόρυμβον ἀνέρπει, ὀκτὼ δ' ἀργυρέας τανύει πλάκας· ἁρμονίης δὲ ζευγνυμένης δολιχὴ ῥάχις ἵσταται· αἱ δὲ τριγώνοις εἰδόμεναι μίσγουσι πόρους ὀκτάζυγος οἴμου εἰς ἓν ἀγειρομένους κορυφῆς σημήϊον ἄκρης· ὁππόθι καὶ κρητῆρος ὑπήραρεν εἰκόνα τέχνη χείλεά τε κρητῆρος ὑποκλασθέντα πετήλων εἶδος ἐμορφώσαντο. μέσωι δ' ἐνεθήκατο χώρωι ἀργύρεον στίλβοντα πόλου τύπον· ὑψόθι δ' αὐτοῦ σταυρὸς ὑπερτέλλων ἀναφαίνεται· ἵλαος εἴη. ἁψίδων δ' ἐφύπερθεν ἕλιξ πολύκεστος ἀκάνθης πέζα διερπύζει νέατον περὶ πυθμένα κώνου. ὀρθοτενεῖς ἀκτῖνας, ἴσας εὐώδεϊ καρπῶι ὄγχνης καλλικόμοιο, διακριδὸν ὑψόθι φαίνει λαμπομένας σελάεσσιν, ὑπερτέλλουσι δὲ πέζης. ὁππόθι δ' ἀλλήλοισιν ἀρηρότα πείρατα πέζης ἁρμονίην τεύχουσιν, ἐνιδρύσαντο παγέντας ἀργυρέους κρητῆρας. ἐπὶ κρητῆρι δ' ἑκάστωι πυρσοφόρους στήσαντο, λιπαυγέα δείκελα κηροῦ, κόσμον ἀπαγγέλλοντα καὶ οὐ φάος· ἀργυρέοις γὰρ πάντοθι τορνωθέντα περιστίλβουσι μετάλλοις φαιδρὰ λεαινομένοισιν· ἀπυρσεύτωι δ' ἀμαρυγῆι ἀργυρέην ἀκτῖνα καὶ οὐ φλόγα κηρὸς ἰάλλει. κίοσι δὲ χρυσέαις ἱερῆς πάγχρυσα τραπέζης νῶτα κατηρείσαντο, κατὰ χρυσέων δὲ θεμείλων ἵσταται, ἀφνειῶν δὲ λίθων ποικίλλεται αἴγλῃ. Πῆι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

φέρομαι; πῆι μῦθος ἰὼν ἀχάλινος ὁδεύει; ἴσχεο τολμήεσσα μεμυκότι χείλεϊ φωνή, μηδ' ἔτι γυμνώσειας ἃ μὴ θέμις ὄμμασι λεύσσειν. μυστιπόλοι δ' ὑπὸ χερσίν, ὅσοις τόδε θεσμὰ κελεύει, Σιδονίης φοίνικι βεβαμμένον ἄνθεϊ κόχλου φᾶρος ἐφαπλώσαντες ἐρέψατε νῶτα τραπέζης, τέτρασι δ' ἀργυρέῃσιν ἐπὶ πλευρῇσι καλύπτρας ὀρθοτενεῖς πετάσαντες ἀπείρονι δείξατε δήμωι χρυσὸν ἅλις καὶ φαιδρὰ σοφῆς δαιδάλματα τέχνης. ὧν μία μὲν ποίκιλλε σέβας Χριστοῖο προσώπου· τοῦτο δὲ καλλιπόνοιο φυτεύσατο χείρεσι τέχνης οὐ γλυφίς, οὐ ῥαφίδων τις ἐλαυνομένης διὰ πέπλων, ἀλλὰ μεταλλάσσουσα πολύχροα νήματα πήνη, νήματα ποικιλόμορφα, τὰ βάρβαρος ἤροσε μύρμηξ. χρυσοφαὲς δ' ἀμάρυγμα βολαῖς ῥοδοπήχεος ἠοῦς ἁπλοῒς ἀντήστραψε θεοκράντων ἐπὶ γυίων, καὶ Τυρίηι πόρφυρε χιτὼν ἁλιανθέϊ κόχλωι, δεξιὸν εὐτύκτοις ὑπὸ νήμασιν ὦμον ἐρέπτων· κεῖθι γὰρ ἀμπεχόνης μὲν ἀπωλίσθησε καλύπτρη, καλὰ δ' ἀνερπύζουσα διὰ πλευρῆς ὑπὲρ ὤμου ἀγκέχυται λαιοῖο· γεγύμνωται δὲ καλύπτρης πῆχυς καὶ θέναρ ἄκρον. ἔοικε δὲ δάκτυλα τείνειν δεξιτερῆς, ἅτε μῦθον ἀειζώοντα πιφαύσκων, λαιῆι βίβλον ἔχων ζαθέων ἐπιίστορα μύθων, βίβλον ἀπαγγέλλουσαν, ὅσα χραισμήτορι βουλῆι αὐτὸς ἄναξ ἐτέλεσσεν ἐπὶ χθονὶ ταρσὸν ἐρείδων. πᾶσα δ' ἀπαστράπτει χρυσέη στολίς· ἐν γὰρ ἐκείνηι τρητὸς λεπταλέος περὶ νήματα χρυσὸς ἑλιχθείς, σχήμασιν ἢ σωλῆνος ὁμοίιος ἤ τινος αὐλοῦ, δέσμιος ἱμερόεντος ἐρείδεται ὑψόθι πέπλου, ὀξυτέραις ῥαφίδεσσι δεθεὶς καὶ νήμασι Σηρῶν. ἱστάμενοι δ' ἑκάτερθε δύω κήρυκε θεοῖο, Παῦλος, ὅλης σοφίης θεοδέγμονος ἔμπλεος ἀνήρ, καὶ σθεναρὸς κληιδοῦχος ἐπουρανίων πυλεώνων, αἰθερίοις δεσμοῖσιν ἐπιχθονίοις τε κελεύων· ὃς μὲν ἐλαφρίζει καθαρῆς ἐγκύμονα ῥήτρης βίβλον, ὁ δὲ σταυροῖο τύπον χρυσέης ἐπὶ ῥάβδου. ἄμφω δὲ στολίδεσσιν ὑπ' ἀργυφέῃσι πυκάζει πήνη ποικιλόεργος· ἐπ' ἀμβροσίων δὲ καρήνων νηὸς ἐκολπώθη χρύσεος, τριέλικτον ἐγείρων ἀγλαΐην ἁψῖδος· ἐφεδρήσσει δὲ βεβηκὼς τέτρασι χρυσείοις ἐπὶ κίοσι. χείλεσι δ' ἄκροις χρυσοδέτου πέπλοιο κατέγραφεν ἄσπετα τέχνη ἔργα πολισσούχων ἐριούνια παμβασιλήων· πῆι μὲν νουσαλέων τις ἀκέστορας ὄψεται οἴκους, πῆι δὲ δόμους ἱερούς. ἑτέρωθι δὲ θαύματα λάμπει οὐρανίου Χριστοῖο· χάρις δ' ἐπιλείβεται ἔργοις. ἐν δ' ἑτέροις πέπλοισι συναπτομένους βασιλῆας ἄλλοθι μὲν παλάμαις Μαρίης θεοκύμονος εὕροις, ἄλλοθι δὲ Χριστοῖο θεοῦ χερί· πάντα δὲ πήνης νήμασι χρυσοπόρων τε μίτων ποικίλλεται αἴγληι. Πάντα μὲν ἀγλαΐηι καταειμένα, πάντα νοήσεις ὄμμασι θάμβος ἄγοντα· φαεσφορίην δὲ λιγαίνειν ἑσπερίην οὐ μῦθος ἐπάρκιος. ἦ τάχα φαίης ἐννύχιον Φαέθοντα καταυγάζειν σέβας οἴκου. καὶ γὰρ ἐμῶν πολύμητις ἐπιφροσύνη βασιλήων ἀντιπόροις ἑλίκεσσι πολυγνάμπτοισι δεθείσας πλεκτὰς χαλκελάτους δολιχὰς ἐτανύσσατο σειρὰς λαϊνέης προβλῆτος ἀπ' ἄντυγος, ἧς ἐπὶ νώτωι νηὸς ἀερσικάρηνος ἐρείσατο ταρσὰ καλύπτρης. αἱ δὲ κατειβόμεναι περιμήκεος ἔκποθεν οἴμου ἀθρόαι ἀΐσσουσι κατὰ χθόνα· πρὶν δ' ἀφικέσθαι ἐς πέδον, ὑψικέλευθον ἀνεκρούσαντο πορείην. καὶ χορὸν ἐκτελέουσιν ὁμόγνιον. ἐκ δέ νυ σειρῆς ἀργυρέους στεφανηδὸν ἀπ' ἠέρος ἥψατο δίσκους ἐκκρεμέας περὶ τέλσα μέσου τροχάοντα μελάθρου. οἱ δὲ καθερπύζοντες ἀφ' ὑψιπόροιο κελεύθου ἀνδρομέων κυκληδὸν ὑπερτέλλουσι καρήνων. τοὺς μὲν ἀνὴρ πολύϊδρις ὅλους ἐτόρησε σιδήρωι, ὄφρα κεν ἐξ ὑάλοιο πυρικμήτοιο ταθέντας οὐριάχους δέξαιντο καὶ ἐκκρεμὲς ἀνδράσιν εἴη φέγγεος ἐννυχίοιο δοχήϊον. οὐδ' ἐνὶ δίσκοις μούνοις φέγγος ἔλαμπε φιλέννυχον· ἀλλ' ἐνὶ κύκλωι καὶ μεγάλου σταυροῖο τύπον πολύωπα νοήσεις, γείτονα μὲν δίσκοιο, πολυτρήτοισι δὲ νώτοις ἄγγος ἐλαφρίζοντα σελασφόρον. εὐσελάων δὲ κύκλιος ἐκ φαέων χορὸς ἵσταται. ἦ τάχα φαίης ἐγγύθεν ἀρκτούροιο δρακοντείων τε γενείων οὐρανίου στεφάνοιο λελαμπότα τείρεα λεύσσειν. Οὕτω μὲν κατὰ νηὸν ἑλίσσεται ἑσπερίη φλόξ, φαιδρὸν ἀπαστράπτουσα· μέσωι δ' ἐνὶ μείονι κύκλωι δευτατίου στεφάνοιο σελασφόρον ἄντυγα δήεις. μεσσοπαγὲς δ' ἐπὶ κέντρον ἀπ' ἠέρος ἄλλος ὀρούσας δίσκος ἐὺς σελάγιζε· φυγὰς δ' ἀπελαύνεται ὄρφνη. Ἐγγύθι



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

δ' αἰθούσης παρὰ κίονας ἔνθα καὶ ἔνθα μουνοφανῆ λαμπτῆρα διακριδὸν ἄλλον ἀπ' ἄλλου ἑξείης ἀνέθηκαν· ὅλον δ' ἐπὶ μῆκος ὁδεύει τηλεπόρου νηοῖο· κύτος δ' ὑπέθηκαν ἑκάστωι ἀργύρεον, πλάστιγγι πανείκελον, ὧι ἐνὶ μέσσωι εὐφαέος κρητῆρες ἐφεδρήσσουσιν ἐλαίου. οὐ μὴν ἰσοτενής τις ὅλοις μία πέζα καθέρπει, πολλὰ δ' ἄναντα κάταντα σὺν ἀγλαΐησι νοήσεις νήδυμα κυμαίνοντα· πολυστρέπτου δ' ἀπὸ σειρῆς ἠερίαις βαθμηδὸν ἐπαστράπτουσι κελεύθοις. οὕτω καὶ δικόρυμβον Ὑὰς σελάγισμα φαείνει, ἡμιτόμου ταύροιο καταγραφθεῖσα μετώποις. ἀλλὰ καὶ ἀργυρέας τις ἴδοι νέας· ἐμπορίης δὲ φόρτον ἀερτάζουσι φαεσφόρον· ἐκκρεμέες δὲ εὐφαέος πλώουσι κατ' ἠέρος ἀντὶ θαλάσσης οὐδὲ νότον τρομέουσι καὶ ὀψεδύοντα Βοώτην. ἐς δὲ βαθὺ κρηπῖδος ἐδέθλιον ἁβρὰ νοήσεις δούρατα δικραίροιο μέσον τροχάοντα σιδήρου, ὧν ἔπι νηοπόλοιο φάλαγξ διανείσσεται αἴγλης ἰθυπόροις κανόνεσσιν ἐρευθομένοισι δεθεῖσα. ἀλλὰ τὰ μὲν περὶ πέζαν, ὅπηι καὶ πυθμένας ἁβραὶ κίονες ἱδρύσαντο, τὰ δ' ὑψόθεν εἰσὶ καρήνων τοίχων μηκεδανῆισι παραστείχοντα κελεύθοις. Ναὶ μὴν οὐδ' ἀσέλαστα μάτην ἐλέλειπτο καρήνου ταρσὰ βαθυστέρνοιο· περὶ προβλῆτι δὲ πέτρωι ἄζυγας εὐδίνητον ἐς ἄντυγα λαμπάδας ἅψας χαλκείοις σταλίκεσσιν ἀνὴρ ἐνεδήσατο μύστης. ὡς δ' ὅτε παρθενικήν τις ἑὴν βασιληΐδα κούρην ἀμφιέπων χαρίεντα κατ' αὐχένος ὅρμον ἑλίξηι χρυσοδέτου στράπτοντα πυραυγέϊ λυχνίδος αἴγληι, οὕτω ἐμὸς σκηπτοῦχος ἐπήραρεν ἄντυγι πάσηι φάεα κυκλοφόρητα, συνέμπορα πάντοθι πέζης. Ἔστι καὶ ἀργυρέαις ἐπὶ κίοσιν, ὑψόθι κόρσης, στεινὴ πυρσοφόροισιν ἐπίδρομος οἶμος ὁδίταις, πλησιφαής, φαιδροῖσιν ἀποστίλβουσα κορύμβοις· κεῖνα γὰρ ἢ κώνοισιν ὀριτρεφέεσσιν ὁμοῖα δένδρεά τις καλέσειεν ἢ ἁβροκόμοις κυπαρίσσοις. εἰσὶ μὲν ὀξυκάρηνα, περιτροχάουσι δὲ κύκλοι εὐρύτεροι κατὰ βαιόν, ἕως ἐπὶ λοίσθιον ἔλθηις ἄντυγος, ἣ περὶ πρέμνον ἑλίσσεται· ἐν δέ νυ κείνοις ἄνθος ἀνεβλάστησε πυρισπόρον. ἀντὶ δὲ ῥίζης ἀργυρέους κρητῆρας ἴδοις ὑπένερθε παγέντας δένδρεσι πυρσοκόμοισι. μέσον γε μὲν ἄλσεος ἁβροῦ ἀμβροσίου σταυροῖο τύπος φαεσίμβροτον αἴθει φέγγος, ἐϋγλήνοισι πεπαρμένον ἅμμασιν ἥλων. Μυρία δ' αἰολόμορφον ἀνάκτορον ἐντὸς ἐέργει ἄλλα πολυγνάμπτοισι μετάρσια φάεα σειραῖς· καὶ τὰ μὲν αἰθούσῃσιν ἀναίθεται, ἄλλα δὲ μέσσωι, ἄλλα δὲ πρὸς φαέθοντα καὶ ἕσπερον, ἄλλα καρήνοις, ἔκχυτον ἀστράπτοντα πυρὸς φλόγα· νὺξ δὲ φαεινὴ ἠμάτιον γελόωσα ῥοδόσφυρός ἐστι καὶ αὐτή. καί τις ἀνὴρ στεφάνοιο χοροστασίης τε δοκεύων δένδρεα φεγγήεντα λιπαλγέα θυμὸν ἰαίνει, ὃς δὲ πυρισπείρητον ἐπακτρίδα, θέλγεται ἄλλος εἰσορόων λαμπτῆρα μονάμπυκα, σύμβολον ἄλλος οὐρανίου Χριστοῖο νόον λαθικηδέα τέρπει. ὡς δ' ὅταν ἀννεφέλοιο δι' ἠέρος ἄνδρες ὁδῖται ἀστέρας ἄλλοθεν ἄλλον ἀναθρώσκοντας ἰδόντες ὃς μὲν ἀποσκοπέει γλυκὺν Ἕσπερον, ὃς δ' ἐπὶ Ταύρωι θυμὸν ἀποπλάζει, γάνυται δέ τις ἀμφὶ Βοώτην, ἄλλος ἐπ' Ὠρίωνα καὶ ἄβροχον ὁλκὸν Ἁμάξης ὄμμα φέρει· πολλοῖς δὲ πεπασμένος ἀστράσιν αἰθὴρ ἀτραπιτοὺς ὤϊξεν, ἔπεισε δὲ νύκτα γελάσσαι· οὕτω καλλιχόροιο κατ' ἔνδια θέλγεται οἴκου ἀγλαΐης ἀκτῖνι φεραυγέος ἄλλος ἐπ' ἄλληι. πᾶσι μὲν εὐφροσύνης ἀναπέπταται εὔδιος αἴθρη ψυχαίην ἐλάσασα μελαγκρήδεμνον ὁμίχλην· πάντας ἐπαυγάζει σέλας ἱερόν, εὖτε καὶ αὐτὸς ναυτίλος οἰήκεσσι θαλασσοπόροισι κελεύων (εἴτε λιπὼν ἄξεινα μεμηνότος οἴδματα Πόντου πλαγκτοὺς ἀντιπόρων σκοπιῶν ἀγκῶνας ἑλίσσει, ἐννύχιον μέγα τάρβος ἔχων γναμπτῆισι κελεύθοις, εἴτε μετ' Αἰγαίωνα παρ' Ἑλλησπόντιον ὕδωρ νῆα κατιθύνῃσι ῥοώδεος ἀντία δίνης, δεχνύμενος προτόνοισι Λιβυστίδος ὄγκον ἀέλλης,) οὐχ Ἑλίκην, οὐχ ἡδὺ φάος Κυνοσουρίδος ἄρκτου εἰσορόων οἴηκι φερέσβιον ὁλκάδα πάλλει, ἀλλὰ τεοῦ νηοῖο θεουδέα λαμπάδα λεύσσων, φορτίδος εὐτόλμοιο προηγέτιν, οὐχ ὑπὸ μούνοις φέγγεσιν ἐννυχίοισι (τὸ γὰρ καὶ Πρωτέος ἀκταὶ ἐν Φαρίηι τεύχουσι Λιβυστίδος ἐς πόδα γαίης) ἀλλὰ καὶ εὐδώροισι θεοῦ ζώοντος ἀρωγαῖς. Μίμνε μοι, ὦ σκηπτοῦχε, πολυχρονίους ἐπὶ



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

κύκλους ἐς φάος ἑσπέριόν τε καὶ ὄρθριον· εἰς σὲ γὰρ ἠὼς ἀμπαύειν, πολύυμνε, καὶ ἕσπερος οἶδε μερίμνας. σοὶ λιμένες γλαυκῶπιν ἀποκρίνουσι γαλήνην πᾶσαν ἐς ἀγχιάλοιο πόλιν χθονός· ἐκχύμενον δὲ κῦμα περιστέλλοντες ὑπ' εὐκόλποισιν ἀγοστοῖς Νηρέος ἀφριόωσαν ὑποσσαίνουσιν ὁμοκλήν. καὶ ποταμῶν ὑπόειξε ῥόωι βρυχώμενον ὕδωρ, οὐκέτι δ' ἁρπακτῆρα μιαίνεται ὁλκὸν ὁδίτης· τὸν πρὶν ἀνικήτοισιν ἀγηνορέοντα ῥεέλντα ῥεέθροις Μυγδόνα Σαγγάριόν τις ἰδὼν Βιθυνίδι γαίηι, νῶτα λιθοτμήτοισι διαζωσθέντα γεφύραις, κρήγυον ἡμετέρων ἐπέων οὐ ῥυθμὸν ἐλέγξει. Ταῦτά σοι, ὀλβιόμοιρε, μάκαρ, δηναιὸν ἀέξει ζωοφόρου λυκάβαντος ἐπεμβάδα· ταῦτα θριάμβοις ἑσπερίοις Λιβυκοῖς τε καὶ ἠώιοισι γεραίρει σὸν κράτος ὠκεανοῖο παρ' ἄντυγα· ταῦτα τυράννων πολλάκις αὐτοφόνιοιο χερὸς δηλήμονι τόλμηι αὐχένας ἐπρήνιξε, πρὶν ἔντεσι χεῖρας ἑλίξῃς, τῶν δὲ κατηλοίησε καρήατα πρίν σε πυθέσθαι φῆμιν ἀπαγγέλλουσαν ἃ μὴ θέμις. εἴποτε γάρ σοι βαιὸν ἐλινύσασα Δίκη παρὰ ποσσὶ κομίσσηι ἀντιβίων τινὰ φῶτα, κατευνάζεις μὲν ἀέλλας εὐθὺς ἀναγκαίοιο χόλου, στρεπτὴν δὲ γαλήνην εὐθὺς ἄγεις, καὶ δεσμὸς ὁ χάλκεος, ὁ πρὶν ἐέργων ἀνέρα ποιναίοισιν ἐν ἅμμασιν, εὐθὺς ἀνοίγει αὐχενίην κληῖδα· σὺ δ' ἵλαον ὄμμα τανύσσας τὸν πρὶν ἐριδμαίνοντα, σέθεν ζυγόδεσμον ἀράξας, ἀντὶ φόνου ζωστῆρας ἐς αἰγλήεντας ἀέξεις. κερδαίνεις δ' ὅσα τύμβος ἀμείλιχος εἶχε καλύψαι γυῖα τεοῦ θεράποντος· ἀφ' ὑμετέρης δὲ γαλήνης νικηθείς, τρισέβαστε, πολὺ πλέον ἠὲ σιδήρωι εἰς σὲ μεταστρεφθεῖσαν ὅλην φρένα δέσμιος ἕλκει, ἐκ δὲ φόβου πρὸς ἔρωτα τεὸν καὶ πίστιν ἀΐξας ὑμετέροις ἐθέλοντα λόφον δούλωσε λεπάδνοις· οἶσθα γὰρ ὅσσον ἔρως κρατερώτερός ἐστιν ἀνάγκης, οἶσθα καὶ ὡς νομίοισιν ἐν ἄνθεσι πολλάκι ταῦρος πειθόμενος σύριγγι καλαύροπος ἦχον ἀλύσκει.

Ἔνθεν ἀεὶ καμάτοιο τεοῦ προκέλευθος ἀνέστη Χριστὸς ἄναξ, βουλὰς δὲ κυβερνητῆρι χαλινῶι σεῖο κατιθύνει κρατερόφρονας, εἴτ' ἐπὶ χάρμην φάσγανα γυμνῶσαι τελέθει χρέος εἴτε καλύψαι· ὅς σε καὶ ἀρητῆρα θεουδέα δῶκεν ἑλέσθαι ῥηϊδίως κραναὴν ἀρετῆς τετράζυγος οἶμον πᾶσαν ἐπιτροχάοντα, τὸν ἠγαθέοισι θοώκοις Ῥώμης οὐρανίη τις ἐφήρμοσεν ἔνθεος ὀμφή. Ἀλλὰ τροπαιοφόρων τε καὶ εὐπτολέμων σέθεν ὕμνων βαιὸν ἀποκλίναντες ἐπιτρέψωμεν ἀοιδὴν σεμνὸν ἐς ἀρητῆρα· τεὸς δέ τίς ἐστι καὶ αὐτὸς ὕμνος, ἄναξ. νίκη γὰρ ἀμοιβαδὸν ἄλλοθεν ἄλλη εὐπτολέμοις καμάτοισι καὶ ἀστυόχοις ἐπὶ μόχθοις ὑμετέροις στέφος ἁβρὸν ἐπεστήριξε καρήνοις. καὶ γὰρ ὅτε, σκηπτοῦχε, νόου βιοδώτορι βουλῆι ὑμετέροις τεμένεσσι μέγαν κληρώσαο μύστην, εὐθὺς ἀλιτρονόοιο κατήριπε δαίμονος ὁρμή, εὐθὺς ὅλων παθέων χαλεπὴν ἐτρέψαο χάρμην, εὐθὺς ἐπ' ἀστυόχοις καμάτοις ἀνεδήσαο νίκην. Ἀλλά μοι ἱμερόεσσαν ὑποστήριξον ἀκουὴν καὶ σὺ πάτερ πολύυμνε, θεουδέος ἡγέτα νηοῦ. σῆι μὲν ὑπὸ σφρηγῖδι φυλάσσεται εὖχος ἀνάκτων, σεῖο δ' ὑπ' εὐχωλῆισι κατάπτερος ἔθνεα Νίκη κοιρανίης ὑπέθηκε πολισσούχοισι λεπάδνοις. καὶ τὰ μὲν ἀντιτύποισιν ἐπαυχήσαντα βοείαις ἔγχος ἄγει βασιλῆος ὑπ' ἴχνεσιν, ἄλλα δὲ Ῥώμηι μυρία βαρβαρόφωνα συνήλυθον ἔθνεα γαίης ὑμετέρης ἀΐοντα σέβας, τρίλλιστε, γαλήνης. χθιζὰ μελαγγυίοισιν ὑπ' ἀνδράσιν ἔνθεον αὐλὴν στεινομένην ἐνόησα· τεῆς δ' ἀπὸ θέσπιδος αὐδῆς θελγόμενοι ψυχήν τε καὶ αὐχένα πρόφρονι βουλῆι οὐρανίοις ἔκλιναν ἐπιχθονίοις τε θοώκοις. τλήμονες. οἳ μὴ χεῖρα τεὴν δέξαντο καρήνοις, χεῖρα δυσαντήτων ἐλατήριον ἀμπλακιάων, χεῖρα λιποκτεάνοισιν ἐπαρκέα, χεῖρα τιθήνην ὀρφανικῶν, πάσης τε κατευνήτειραν ἀνάγκης. καὶ γὰρ ἀπ' ὠδίνων σε σαοφροσύνη τε καὶ αἰδώς ἐλπίδος οὐρανίης ἱεραῖς ξύνωσε πορείαις. λιτὰ δέ σοι καὶ δόρπα καὶ ὀμφήεσσα μενοινή, λιτὰ δέ σοι βλεφάρων ἀμαρύγματα, λιτὰ δὲ ταρσῶν ἴχνια σῶν, καὶ λιτὸν ἔπος σέο χείλεα πάλλει. οὐ μὲν ἐπισκυνίοιο κατηφιόωσαν ὁμίχλην ἀμφιέπεις, Χριστῶι δὲ γεγηθότα θυμὸν ἀέξεις, ἤπιον εὐάντητον ἄγων σέλας· ἐν δὲ προσώποις μειλίχιον μείδημα παρήϊα σεμνὰ χαράσσει. ταῦτα δὲ πρηϋνόοιο φέρεις σημήϊα θυμοῦ· ἐσσὶ γὰρ εὐθίκτοισιν ἀνέμβατος ἴχνεσιν



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὀργῆς, ἑδρήσσων ἀτίνακτος ἐπ' ἀφλοίσβοιο γαλήνης. πάντα μὲν ὑλαίων ἀπεσείσαο πήματα μόχθων, εὐσεβίης δ' ὀχετηγὸν ἐνηέα θυμὸν ἀνοίγων συμπαθὲς ἀνδρομέοισιν ἐπ' ἄλγεσιν ὄμμα τιταίνεις. οὐδὲ λιπερνήτης πελέθει βροτὸς ὃν σὺ νοήσῃς· αὐτίκα γὰρ καθαροῖο νόου θημῶνα πετάσσας Λυδὸν ἐριχρύσοιο παρέδραμες ὄλβον ἀναύρου, ἔκχυτον ἐκ παλάμης ποταμήρρυτον ὄλβον ὀπάζων. πάντα μὲν ὠγυγίων τε καὶ ὁπλοτέρων κλέα μόχθων ἐξεδάης, πᾶσαν δὲ ποσὶν καθαροῖσιν ὁδεύεις ἀτραπιτὸν λειμῶνι θεουδέϊ· σὰς δὲ μερίμνας ἰθυνόωι πλάστιγγι κανὼν σταθμήσατο μύστης. ἔνθεν ὑπ' ἀχράντοισι νόον μελεδήμασι θέλγων ὤνιον οὐ τέτληκας ἰδεῖν σέβας, οὐδὲ καρήνοις ἐμπορίην ἱεροῖσιν ἐφήρμοσας, οὐδὲ βεβήλοις ἀνδράσιν οἶμον ἔδειξας ἀνέμβατον. εἰ δέ σε δώροις πρηΰς ὑποσσαίνων τις ὀΐσσεται εἰς χάριν ἕλκειν, βριθὺς ὁμοκλητῆρι χαλέψαο τόν γε χαλινῶι, ὅσσον ἀποσμῆξαι κραδίης νέφος, ὅσσον ἐλέγξαι χρυσὸν ἀτιμηθέντα, καὶ ἀφραίνοντα διδάξαι ὡς καθαρὸν καθαροῖσι θέμις τεμένεσσι θαμίζειν. Ἀλλὰ μένοις καὶ σκῆπτρον ἐμοῦ βασιλῆος ἀέξων σαῖς, μάκαρ, εὐχωλῆισι· μένοις δ' ἁλιγείτονι Ῥώμηι πᾶσαν ἁμαρτινόου βιότου σμώδιγγα καθαίρων.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.